# THE OLYNTHIAC ORATIONS OF DEMOSTHENES, WITH NOTES AND GRAMMATICAL REFERENCES

Published @ 2017 Trieste Publishing Pty Ltd

ISBN 9780649428304

The Olynthiac Orations of Demosthenes, with Notes and Grammatical References by Demosthenes & Thomas Kerchever Arnold

Except for use in any review, the reproduction or utilisation of this work in whole or in part in any form by any electronic, mechanical or other means, now known or hereafter invented, including xerography, photocopying and recording, or in any information storage or retrieval system, is forbidden without the permission of the publisher, Trieste Publishing Pty Ltd, PO Box 1576 Collingwood, Victoria 3066 Australia.

All rights reserved.

Edited by Trieste Publishing Pty Ltd.
Cover @ 2017

This book is sold subject to the condition that it shall not, by way of trade or otherwise, be lent, re-sold, hired out, or otherwise circulated without the publisher's prior consent in any form or binding or cover other than that in which it is published and without a similar condition including this condition being imposed on the subsequent purchaser.

www.triestepublishing.com

DEMOSTHENES & THOMAS KERCHEVER ARNOLD

# THE OLYNTHIAC ORATIONS OF DEMOSTHENES, WITH NOTES AND GRAMMATICAL REFERENCES

Trieste

THE

# OLYNTHIAC ORATIONS

OF

# DEMOSTHENES,

WITH

## NOTES,

AND

## GRAMMATICAL REFERENCES.

---

EDITED BY THE

REV. THOMAS KERCHEVER ARNOLD, M.A.

RECTOR OF LYNDON,

AND LATE FELLOW OF TRINITY COLLEGE, CAMBRIDGE.

---

LONDON:

FRANCIS & JOHN RIVINGTON,

ST. PAUL'S CHURCH YARD, AND WATERLOO PLACE.

1849.

LONDON:
GILBERT AND RIVINGTON, PRINTERS,
ST. JOHN'S SQUARE.

# ADVERTISEMENT.

THE text of these Orations is that of Baiter and Sauppe. For the list of the editors from whom the notes that accompany the volume are selected, see page 21.

The Grammars to which the references are made are—

*a.* A Grammar of the Greek Language, chiefly from the German of Raphael Kühner. By William Edward Jelf, Student of Christ Church. 2 vols. 8vo. Vol. I. 1845 (Accidence). Vol. II. 1842 (Syntax).

*b.* A Greek Grammar; intended as a sufficient Grammar of Reference for Schools and Colleges. By the Rev. T. K. Arnold, M.A. Second Edition. London, 1848.

*c.* An Elementary Greek Grammar. By the Rev. T. K. Arnold, M.A. London, 1848.

My experience in editing the present volume justifies me in expressing, with some confidence, a hope that my *smaller Grammar* will be found to contain a notice of *very nearly all* the difficulties of Attic prose that are not of exceedingly rare occurrence.

The works which I hope will follow at short intervals, are—

1. Hom.: Lib. I—IV.
2. Xenophon: Selections from the Cyropædia.
3. ———— The three last books of the Anabasis.
4. ———— Selections from the Memorabilia (with Notes illustrative of the difference between the Greek and Latin languages).
5. Thucydides: Book I.
6. Demosthenes: The Philippics.
7. ———— De Coronâ.
8. Æschines: Oratio contra Ctesiphontem.

The notes will be selected, either in words or in substance, from the best German editors.

T. K. A.

HASTINGS,
*November* 25, 1848.

# TABLE OF CONTENTS.


| | PAGE |
|---|---|
| Oration I. | 1 |
| Oration II. | 7 |
| Oration III. | 13 |
| Notes | 21 |
| On the Olynthiac Orations (*Thirlwall*) | 78 |
| On the Character of Philip (*Thirlwall*) | 80 |
| On the Construction of Verbs of *hindering*, &c. (*Madvig*) | 89 |
| Lists of the Rarer Words and Phrases | 93 |


## ERRATA.

Page 4, last line, *for* ιφλοπραγμοσύνην *read* φιλοπραγμοσύνην
— 21, *for* Funkhänel, *read* Funkhänel and Frotscher.

# SELECT ORATIONS

OF

# DEMOSTHENES.

---

## PART I.

## THE OLYNTHIAC ORATIONS.

---

## ΟΛΥΝΘΙΑΚΟΣ Α.

### ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ.

Ὄλυνθος ἦν πόλις ἐπὶ Θρᾴκης, Ἑλληνικὸν δὲ ταύτῃ τῶν ἐνοικούντων τὸ γένος, ἀπὸ Χαλκίδος τῆς ἐν Εὐβοίᾳ· ἡ δὲ Χαλκὶς Ἀθηναίων ἄποικος. Πολλοὶ δὲ πόλεμοι καὶ ἔνδοξοι τῆς Ὀλύνθου· Ἀθηναίοις τε γὰρ ἐπολέμησαν ἄρχουσι τῶν Ἑλλήνων τὸ παλαιὸν καὶ αὖθις Λακεδαιμονίοις. Χρόνῳ δὲ εἰς δύναμιν προῆλθε μεγάλην, καὶ τῶν συγγενῶν πόλεων ἐπῆρχεν· ἦν γὰρ ἐπὶ Θρᾴκης πολύ τι γένος Χαλκιδικόν. Φιλίππῳ δὲ τῷ Μακεδόνων βασιλεῖ συμμαχίαν οἱ Ὀλύνθιοι ποιησάμενοι, καὶ πολεμοῦντες μετ' αὐτοῦ πρὸς Ἀθηναίους τὸ κατ' ἀρχάς, καὶ τοῦτο μὲν Ἀνθεμοῦντα παρὰ τοῦ Μακεδόνος εἰληφότες, πόλιν ἀμφισβητήσιμον Μακεδόσι καὶ Ὀλυνθίοις, τοῦτο δὲ Ποτίδαιαν, ἣν Ἀθηναίων ἐχόντων ἐκπολιορκήσας ὁ Φίλιππος Ὀλυνθίοις παρέδωκεν, ὕστερον ὑποπτεύειν ἤρξαντο τὸν βασιλέα, ὁρῶντες αὐτοῦ ταχεῖαν καὶ πολλὴν τὴν αὔξησιν, οὐ πιστὴν δὲ τὴν γνώμην. Ἀποδημοῦντα δὲ τηρήσαντες αὐτὸν, πέμψαντες πρέσβεις πρὸς Ἀθηναίους κατελύσαντο τὸν πρὸς αὐτοὺς πόλεμον, ποιοῦντες τοῦτο παρὰ τὰς συνθήκας τὰς πρὸς Φίλιππον· συνετέθειντο γὰρ καὶ κοινῇ πολεμεῖν πρὸς Ἀθηναίους, κἂν ἄλλο τι δόξῃ, κοινῇ σπείσασθαι. Ὁ δὲ Φίλιππος πάλαι μὲν προφάσεως ἐπ' αὐτοὺς δεόμενος, τότε δὲ ταύτην λαβὼν, ὡς τὰς συνθήκας παραβεβηκόσι καὶ πρὸς τοὺς ἐχθροὺς τοὺς ἑαυτοῦ φιλίαν ἐσπεισμένοις πόλεμον ἐπήνεγκεν. Οἱ δὲ πεπόμφασι πρέσβεις εἰς Ἀθήνας περὶ βοηθείας, οἷς ὁ Δημοσθένης συναγορεύει, βοηθεῖν κελεύων τοῖς Ὀλυνθίοις. Καί φησι τὴν Ὀλυνθίων σωτηρίαν ἀσφάλειαν τῶν Ἀθηναίων εἶναι· σωζομένων γὰρ τῶν Ὀλυνθίων οὐδέποτε ἥξειν εἰς τὴν Ἀττικὴν Φίλιππον, ἀλλὰ τοῖς Ἀθηναίοις ἐξουσίαν ἔσεσθαι πλεῖν ἐπὶ τὴν Μακεδονίαν κἀκεῖ ποιεῖσθαι τὸν πόλεμον· εἰ δὲ ὑπὸ Φιλίππῳ γένοιτο ἡ πόλις αὕτη, ἀνεῖσθαι τὴν ἐπὶ τοὺς Ἀθηναίους ὁδὸν τῷ βασιλεῖ. Φησὶ δὲ δύσ-

*μαχον εἶναι τὸν Φίλιππον οὐχ ὡς ὑπείληπται, θαρσύνων ἐπ' αὐτὸν τοὺς Ἀθηναίους.*

*Διείλεκται δὲ καὶ περὶ τῶν δημοσίων χρημάτων, συμβουλεύων ποιῆσαι αὐτὰ στρατιωτικὰ ἀντὶ θεωρικῶν. Καὶ τὸ ἔθος οὐ πρόδηλον ὄν, ᾧ ἐχρῶντο οἱ Ἀθηναῖοι, ἀνάγκη σαφηνίσαι. Οὐκ ὄντος τὸ παλαιὸν θεάτρου λιθίνου παρ' αὐτοῖς, ἀλλὰ ξυλίνων συμπηγνυμένων ἰκρίων, καὶ πάντων καταλαμβάνειν τόπον σπευδόντων, πληγαί τε ἐγίγνοντο καί που καὶ τραύματα. Τοῦτο κωλῦσαι βουληθέντες οἱ προεστῶτες τῶν Ἀθηναίων ὠνητοὺς ἐποιήσαντο τοὺς τόπους, καὶ ἕκαστον ἔδει διδόναι δύο ὀβολοὺς καὶ καταβαλόντα θέαν ἔχειν. Ἵνα δὲ μὴ δοκῶσιν οἱ πένητες τῷ ἀναλώματι λυπεῖσθαι, ἐκ τοῦ δημοσίου λαμβάνειν ἕκαστον ἐτάχθη τοὺς δύο ὀβολούς. Ἐντεῦθεν μὲν οὖν τὸ ἔθος ἤρξατο, προῆλθε δὲ εἰς τοσοῦτον ὥστε οὐκ εἰς τοῦτο μόνον ἐλάμβανον, ἀλλὰ ἁπλῶς πάντα τὰ δημόσια χρήματα διενέμοντο. Ὅθεν καὶ περὶ τὰς στρατείας ὀκνηροὶ κατέστησαν. πάλαι μὲν γὰρ στρατευόμενοι μισθὸν παρὰ τῆς πόλεως ἐλάμβανον, τότε δὲ ἐν ταῖς θεωρίαις καὶ ταῖς ἑορταῖς οἴκοι μένοντες διενέμοντο τὰ χρήματα· οὐκέτι οὖν ἤθελον ἐξιέναι καὶ κινδυνεύειν, ἀλλὰ καὶ νόμον ἔθεντο περὶ τῶν θεωρικῶν τούτων χρημάτων, θάνατον ἀπειλοῦντα τῷ γράψαντι μετατεθῆναι ταῦτα εἰς τὴν ἀρχαίαν τάξιν καὶ γενέσθαι στρατιωτικά. Διὸ ὁ Δημοσθένης εὐλαβῶς ἅπτεται τῆς περὶ τούτου συμβουλῆς, καὶ ὑπερωτήσας ἑαυτὸν ὅτι "σὺ γράφεις ταῦτα εἶναι στρατιωτικά;" ἐπιφέρει "μὰ Δί' οὐκ ἔγωγε." Τοσαῦτα μὲν περὶ τῶν θεωρικῶν.*

*Διείλεκται δὲ ὁ ῥήτωρ καὶ περὶ πολιτικῆς δυνάμεως, ἀξιῶν αὐτοὺς στρατεύεσθαι καὶ μὴ διὰ ξένων, ὥσπερ εἰώθεισαν, ποιεῖσθαι τὴν βοήθειαν· τοῦτο γὰρ αἴτιον εἶναί φησι τοῦ τὰ πράγματα ἀπόλλυσθαι.*

1 Ἀντὶ πολλῶν ἂν ὦ ἄνδρες Ἀθηναῖοι χρημάτων ὑμᾶς
A ἑλέσθαι νομίζω, εἰ φανερὸν γένοιτο τὸ μέλλον συνοίσειν τῇ πόλει περὶ ὧν νυνὶ σκοπεῖτε. Ὅτε τοίνυν τοῦθ' οὕτως ἔχει, προσήκει προθύμως ἐθέλειν ἀκούειν τῶν βουλομένων συμβουλεύειν· οὐ γὰρ μόνον εἴ τι χρήσιμον ἐσκεμμένος ἥκει τις, τοῦτ' ἂν ἀκούσαντες λάβοιτε, ἀλλὰ καὶ τῆς ὑμετέρας τύχης ὑπολαμβάνω πολλὰ τῶν δεόντων ἐκ τοῦ παραχρῆμα ἐνίοις ἂν ἐπελθεῖν εἰπεῖν, ὥστ' ἐξ ἁπάντων ῥᾳδίαν τὴν τοῦ συμφέροντος ὑμῖν αἵρεσιν γενέσθαι.

2 Ὁ μὲν οὖν παρὼν καιρός, ὦ ἄνδρες Ἀθηναῖοι, μόνον οὐχὶ
B λέγει φωνὴν ἀφιεὶς ὅτι τῶν πραγμάτων ὑμῖν ἐκείνων αὐτοῖς ἀντιληπτέον ἐστίν, εἴ περ ὑπὲρ σωτηρίας αὐτῶν φροντίζετε· ἡμεῖς δ' οὐκ οἶδ' ὅντινά μοι δοκοῦμεν ἔχειν τρόπον πρὸς αὐτά. Ἔστι δὴ τά γ' ἐμοὶ δοκοῦντα ψηφίσασθαι μὲν ἤδη τὴν βοήθειαν, καὶ παρασκευάσασθαι τὴν ταχίστην, ὅπως ἐνθένδε βοηθήσετε καὶ μὴ πάθητε ταὐτὸν ὅπερ καὶ πρότερον, πρεσβείαν δὲ πέμπειν, ἥτις ταῦτ' ἐρεῖ καὶ παρέσται τοῖς πράγμασιν· ὡς ἔστι μάλιστα τοῦτο δέος, μὴ πανοῦργος ὢν καὶ δεινὸς

ἄνθρωπος πράγμασι χρῆσθαι, τὰ μὲν εἴκων, ἡνίκα ἂν τύχῃ, A
τὰ δ' ἀπειλῶν (ἀξιόπιστος δ' ἂν εἰκότως φαίνοιτο), τὰ δ' ἡμᾶς
διαβάλλων καὶ τὴν ἀπουσίαν τὴν ἡμετέραν, τρέψῃ τε καὶ
παρασπάσηταί τι τῶν ὅλων πραγμάτων. Οὐ μὴν ἀλλ' ἐπι-
εικῶς ὦ ἄνδρες Ἀθηναῖοι τοῦθ', ὃ δυσμαχώτατόν ἐστι τῶν
Φιλίππου πραγμάτων, καὶ βέλτιστον ὑμῖν· τὸ γὰρ εἶναι πάν-
των ἐκεῖνον ἕνα ὄντα κύριον καὶ ῥητῶν καὶ ἀπορρήτων, καὶ
ἅμα στρατηγὸν καὶ δεσπότην καὶ ταμίαν, καὶ πανταχοῦ αὐτὸν
παρεῖναι τῷ στρατεύματι, πρὸς μὲν τὸ τὰ τοῦ πολέμου ταχὺ
καὶ κατὰ καιρὸν πράττεσθαι πολλῷ προέχει, πρὸς δὲ τὰς
καταλλαγάς, ἃς ἂν ἐκεῖνος ποιήσαιτο ἄσμενος πρὸς Ὀλυν- B
θίους, ἐναντίως ἔχει. Δῆλον γάρ ἐστι τοῖς Ὀλυνθίοις ὅτι
νῦν οὐ περὶ δόξης οὐδ' ὑπὲρ μέρους χώρας πολεμοῦσιν, ἀλλ'
ἀναστάσεως καὶ ἀνδραποδισμοῦ τῆς πατρίδος, καὶ ἴσασιν ἅ τ'
Ἀμφιπολιτῶν ἐποίησε τοὺς παραδόντας αὐτῷ τὴν πόλιν καὶ
Πυδναίων τοὺς ὑποδεξαμένους· καὶ ὅλως ἄπιστον, οἶμαι, ταῖς
πολιτείαις ἡ τυραννίς, ἄλλως τε κἂν ὅμορον χώραν ἔχωσι.
Ταῦτ' οὖν ἐγνωκότας ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τἄλλ' ἃ
προσήκει πάντα ἐνθυμουμένους φημὶ δεῖν ἐθελῆσαι καὶ παρ-
οξυνθῆναι καὶ τῷ πολέμῳ προσέχειν, εἴ πέρ ποτε, καὶ νῦν,
χρήματα εἰσφέροντας προθύμως καὶ αὐτοὺς ἐξιόντας καὶ C
μηδὲν ἐλλείποντας. Οὐδὲ γὰρ λόγος οὐδὲ σκῆψις ἔθ' ὑμῖν
τοῦ μὴ τὰ δέοντα ποιεῖν ἐθέλειν ὑπολείπεται. Νυνὶ γάρ, ὃ
πάντες ἐθρύλουν τέως, Ὀλυνθίους ἐκπολεμῶσαι δεῖν Φιλίππῳ,
γέγονεν αὐτόματον, καὶ ταῦθ' ὡς ἂν ὑμῖν μάλιστα συμφέροι.
Εἰ μὲν γὰρ ὑφ' ὑμῶν πεισθέντες ἀνείλοντο τὸν πόλεμον,
σφαλεροὶ σύμμαχοι καὶ μέχρι του ταῦτ' ἂν ἐγνωκότες ἦσαν
ἴσως· ἐπειδὴ δ' ἐκ τῶν πρὸς αὐτοὺς ἐγκλημάτων μισοῦσι,
βεβαίαν εἰκὸς τὴν ἔχθραν αὐτοὺς ὑπὲρ ὧν φοβοῦνται καὶ
πεπόνθασιν ἔχειν. Οὐ δεῖ δὴ τοιοῦτον ὦ ἄνδρες Ἀθηναῖοι
παραπεπτωκότα καιρὸν ἀφεῖναι, οὐδὲ παθεῖν ταὐτὸ ὅπερ ἤδη D
πολλάκις πρότερον πεπόνθατε. Εἰ γάρ, ὅθ' ἥκομεν Εὐβοεῦσι
βεβοηθηκότες καὶ παρῆσαν Ἀμφιπολιτῶν Ἱέραξ καὶ Στρατο-
κλῆς ἐπὶ τουτὶ τὸ βῆμα, κελεύοντες ἡμᾶς πλεῖν καὶ παρα-
λαμβάνειν τὴν πόλιν, τὴν αὐτὴν παρειχόμεθ' ἡμεῖς ὑπὲρ ἡμῶν
αὐτῶν προθυμίαν ἥνπερ ὑπὲρ τῆς Εὐβοέων σωτηρίας, εἴχετ'
ἂν Ἀμφίπολιν τότε καὶ πάντων τῶν μετὰ ταῦτα ἂν ἦτε ἀπηλ-
λαγμένοι πραγμάτων. Καὶ πάλιν ἡνίκα Πύδνα, Ποτίδαια,
Μεθώνη, Παγασαί, τἄλλα, ἵνα μὴ καθ' ἕκαστα λέγων δια-
τρίβω, πολιορκούμενα ἀπηγγέλλετο, εἰ τότε τούτων ἑνὶ τῷ
πρώτῳ προθύμως καὶ ὡς προσῆκεν ἐβοηθήσαμεν αὐτοί, ῥᾴονι